ΖΗΝΟΔΟΤΟΥ.

Τίς γλύψας τὸν ἔρωτα παρὰ κρήνῃσιν ἔθηκεν,
Οἰόμενος παύσειν τοῦτο τὸ πῦρ ὕδατι;

---

## ΕΙΣ ΕΥΣΕΒΕΙΑΝ, κεφ. κη.

### ΚΑΡΦΥΛΛΙΔΟΥ.

Ἰχθύας ἀγκίστρῳ τις ἀπ' ἠϊόνος εὔτριχι βάλλων,
Εἵλκυσε ναυηγοῦ κρᾶτα λιποτριχέα.
Οἰκτείρας καὶ νέκυν τὸν ἀσώματον, ἐξ ἀσιδήρου
Χειρὸς ἐπισκάπτων, λιτὸν ἔχωσε τάφον.
Εὗρε δὲ κευθόμενον χρυσοῦ κτέαρ. ἦ ρα δικαίοις
Ἀνδράσιν εὐσεβίης οὐκ ἀπόλωλε χάρις.

### ΘΕΟΚΡΙΤΟΥ.

Οἴκῳ ἐν Ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον ἔχει
Ξεινὸν, ἀεὶ δέ σφιν λώϊον εἰς ἔτος ἰὼν,
Ἐκ σέθεν ἀρχομένοις, ὦ πότνια. κηδόμενοι γὰρ
Ἀθανάτων, αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

### ΚΡΙΝΑΓΟΡΟΥ.

Εἰ καί σοι ἑδραῖος ἀεὶ βίος, οὐδὲ θάλασσαν
Ἔπλως, χερσαίας τ' οὐκ ἐπάτησας ὁδοὺς,
Ἔμπης Κεκροπίης ἐπιβήμεναι· ὄφρ' ἐν ἐκείναις
Δήμητρος μεγάλας νύκτας ἴδῃς ἱερῶν.
Τῶν ἄπο, κἂν ζωοῖσιν ἀκηδέα, κεὖτ' ἂν ἵκηαι
Ἐς πλεόνων, ἕξεις θυμὸν ἐλαφρότερον.